θάνατον ταφῆς ἀξιώσῃ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ, ἐξ ἀποφάσεως. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ καὶ μόνιμον ἀσφάλειαν ἐδόθη αὐτῷ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐπιβεβαιωτήριον γράμμα. ᾳψλη ἐν μηνὶ Ἰουνίῳ.

---

# Ε΄.

***Ἀνέκδοτον Σιγγίλιον τοῦ Πατριάρχου Γαβριὴλ περὶ τῆς ἐν Καρλοβασίοις Σχολῆς.***

## (1784)

1875
σ. 127 - 132

**Γαβριὴλ Ἐλέῳ Θεοῦ**
**ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης**
**καὶ οἰκουμενικὸς Πατριάρχης.**

Ὅσα μὲν καὶ οἷα τὰ ἐκ τῆς παιδείας ἀγαθὰ, πολλοῖς πολλάκις διατεθρύλληται αὐτὰ καὶ γὰρ ἡμῖν τὴν τοῦ ἀγαθοῦ καὶ φαύλου διάκρισιν περιποιεῖ, τὰ μὲν ἑλέσθαι, τὰ δὲ φυγεῖν παραινοῦσα. Ὑπ' αὐτῆς τὰ ἤθη κοσμούμεθα, ἐπαινετοὺς ἡμᾶς αὐτοὺς παρεχόμενοι. Αὕτη πῶς οἰκονομητέον, πῶς πολιτικῶς χρηστέον πράγμασι καὶ μυρί' ἄλλα συμφέροντα τῷ ἀνθρωπίνῳ βίῳ ἐκδιδάσκει τοὺς μετειληφότας καὶ τῇ ψυχῇ οἷον κάλλιστα περιτίθησι τὸν κόσμον, τὴν γνῶσιν τῆς ἀληθείας αὐτῇ περιποιοῦσα καὶ τὸν ἄνθρωπον, εἰ δυνατὸν, ὅμοιον Θεῷ ἀποφαίνουσα. Διὰ ταῦτα καὶ ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία ὅπου ἂν κατίδῃ σχολὰς συνισταμένας πρὸς διδασκαλίαν, τοῦ τοιούτου θείου τῷ ὄντι χρήματος, καὶ τῆς παρ' αὐτῆς ἀντιλήψεως δεομένας πρὸς διαμονὴν, προθύμως πάνυ καὶ ἀφθόνως ἐπιδαψιλεύεται αὐταῖς τὴν ἀντίληψιν. Ἐπειδὴ τοιγαροῦν ὁ πανιερώτατος μητροπολίτης ἅγιος Ἡρακλείας καὶ Ραιδεστοῦ, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Μεθόδιος, καὶ ὁ ποτὲ ἐπίσκοπος τῆς αὐτοῦ ἱερότητος Τυρουλώης μακαρίτης Πορφύριος, θείῳ ζήλῳ ἀμφότεροι κεκινημένοι, ἔγνωσαν ἐκ συμφώνου εἰς ψυχικὴν αὐτῶν ὠφέλειαν συστῆσαι Σχολεῖον Ἑλληνικῶν μαθημάτων ἐν τῇ νήσῳ Σάμῳ, ἐν τῷ χωρίῳ Καρλόβασι λεγομένῳ, καταβαλόντες ἡ μὲν αὐτοῦ ἱερότης μετρητὰ γρόσια χιλιάδας τρεῖς καὶ παραχωρήσασα τῷ μακαρίτῃ ἐκείνῳ ἐκ τῆς ἐπαρχίας αὐτοῦ συναγωγὴν καὶ ἑτέρων δύο χι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λιάδων γροσίων παρὰ τῶν ἐκεῖ χριστιανῶν· ὁ δὲ μακαρίτης ἐκεῖνος, παραλαβὼν τὰς ῥηθείσας πέντε χιλιάδας τῶν γροσίων, ἀπέπλευσεν εἰς Σάμον ὡς οἰκοδομηθησόμενος καὶ συστησόμενος τὴν Σχολὴν, ἀναθείς τε καὶ ἀφιερώσας εἰς αὐτὴν τὴν ἐκεῖ προπατορικὴν κτιτορικὴν ἑαυτοῦ ἐκκλησίαν, ἐπιλεγομένην τῆς ἁγίας Σοφίας, καὶ τὰ βιβλία ἑαυτοῦ, καταγεγραμμένα ὄντα διὰ καθαροῦ καταστίχου, καὶ τὰ ἅπερ εἶχεν ἀρχιερατικὰ ἀπὸ τῆς εἰρημένης ἐπισκοπῆς καὶ πᾶσαν τὴν λοιπὴν περιουσίαν αὐτοῦ ἤρξατο τῆς οἰκοδομῆς. Ἀλλ' ἀνάρπαστος ὑπὸ τοῦ θανάτου γενόμενος, τὴν μὲν Σχολὴν ἡμιτελῆ κατέλιπε, τινὰ δὲ τῶν εἰρημένων ἄσπρων καὶ τὴν λοιπὴν περιουσίαν ἐκείνου οἰκειοποιησάμενοι κατ' ἀρχὰς οἱ συγγενεῖς καὶ κληρονόμοι, ἤδη μεταμεληθέντες κἀκεῖνοι, ἐφ' οἷς τὸ τοῦ συγγενοῦς κοινωφελὲς διεκώλυσαν βούλευμα, ὡς ἔγνωμεν καὶ ἐβεβαιώθημεν ἀπὸ γράμματος τοῦ κατὰ τόπον ἀρχιερέως θεοφιλεστάτου ἀρχιεπισκόπου Σάμου καὶ Ἰκαρίας συναδέλφου ἡμῶν ἀγαπητοῦ κὺρ Δανιὴλ, οὐ μόνον ἀπέδωκαν πάνθ' ὅσα περ ἀφείλοντο διὰ γραμμάτων ἐνυπογράφων καὶ ἐμμαρτύρων, τελείαν ἀποχὴν καὶ ἐξόφλησιν ποιησάμενοι περί τε τῆς Σχολῆς καὶ τῆς εἰρημένης Ἐκκλησίας καὶ τοῦ οἴκου, ὃν ὁ μακαρίτης ᾠκοδομεῖτο ἑαυτῷ, καὶ πάσης τῆς εἰς αὐτὴν ἀνατιθεμένης περιουσίας τοῦ μακαρίτου ἐκείνου Τυρουλώης, ἀλλὰ καὶ προσανέθηκαν, ἀφιερώσαντες καὶ ἐξ ἰδίων εἰς αὐτὴν ἓν ἀμπέλιον καὶ οὕτως ἀνῳκοδομήθη τὰ τῆς Σχολῆς. Ἐπειδὴ οὖν οὕτω καλῶς ἐξετελέσθη τοῦτο τὸ κοινωφελὲς ἔργον καὶ ἤδη ὁ ῥηθεὶς ἱερώτατος ἅγιος Ἡρακλείας συνεδριάζων ἐν τῇ ἱερᾷ τῆς ἀδελφότητος ὁμηγύρει καὶ ἀπὸ στόματος ἐπιβεβαιῶν τὸ ἀνάθημα καὶ ἀφιέρωσιν τῶν εἰρημένων ἄσπρων εἰς τὴν ῥηθεῖσαν Σχολὴν καὶ συναινῶν τῷ μακαρίτῃ ἐκείνῳ Τυρουλώης εἰς ἣν ἐκεῖνος ἐποιήσατο ἀφιέρωσιν τῶν ἐκ τῆς ἐπισκοπῆς αὐτοῦ ἀρχιερατικῶν· ἅμα δὲ ἐπειδὴ καὶ οἱ συγγενεῖς καὶ οἱ κληρονόμοι ἐκείνου τοῦ μακαρίτου Τυρουλώης καὶ οἱ ἐκεῖθεν ἐκ Σάμου ἅπαντες πρόκριτοι χριστιανοὶ διὰ γράμματος τοῦ ῥηθέντος ἀρχιερέως αὐτῶν τὰ πρὸς διαμονὴν τῆς Σχολῆς ταύτης ἐπιμελούμενοι, θερμῶς ἐδεήθησαν ὑπαχθῆναι αὐτὴν μετὰ τῆς ῥηθείσης ἐκκλησίας ὑπὸ τὴν ἐπίσκεψιν καὶ κηδεμονίαν τοῦ καθ' ἡμᾶς ἁγιωτάτου πατριαρχικοῦ ἀποτολικοῦ καὶ οἰκουμενικοῦ θρόνου καὶ τῇ σταυροπηγιακῇ καὶ ἐλευθέρᾳ τιμηθῆναι ἀξίᾳ ἐπὶ τοῖς ἀπαριθμησομένοις κεφαλαίοις, διὰ ταῦτα, τὴν δέησιν αὐτῶν ὡς εὔλογον οὖσαν ἀποδεξάμενοι καὶ τὸν ῥηθέντα συναδελφον ἡμῶν ἀγαπητὸν καὶ περιπόθητον ἅγιον Ἡρακλείας καὶ Ραιδεστοῦ τῆς ἐλευθεριότητος ταύτης καὶ μεγαλοπρεπείας ἐπαινέσαντες καὶ κοινῇ τε καὶ συνοδικῶς εὐξάμενοι ἀπὸ καρδίας ὁμοφώνως ἅπαντες τὰ εἰκότα καὶ ἐπειπόντες εἴη τῇ αὐτοῦ ἱερότητι τὸ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ἔργον τουτὶ πρόξενον παντὸς ἀγαθοῦ παρὰ τὸν βίον καὶ τῆς ψυχικῆς σωτηρίας καὶ οὐρανίου μακαριότητος παραίτιον. Ταῦτα οὖν ἐν εὐχαῖς καὶ ἐπαίνοις τοῖς προσήκουσιν ἐπειπόντες, προθύμως πάνυ πρὸς τὴν ἀξίωσιν καὶ βούλησιν συνηνέσαμεν δι' ὃ καὶ γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν νεόδμητον Σχολεῖον ἐν τῇ νήσῳ Σάμῳ, ἐν τῷ χωρίῳ Καρλόβασι, ἡ εἰρημένη ἐκκλησία τῆς ἁγίας Σοφίας ὁμοῦ καὶ τὸ ὀσπήτιον, ὑπάρχωσι καὶ λέγωνται εἰς τὸ ἑξῆς καὶ παρὰ πάντων γνωρίζωνται ἡμέτερα πατριαρχικὰ σταυροπηγιακά, ἐλεύθερα, αὐτεξούσια καὶ ἀκαταπάτητα παρ' ὁτινοσοῦν, προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μηδενὶ μηδὲν ὀφείλοντα διδόναι καὶ παρὰ μηδενὸς δεσποζόμενα, εἰ μὴ μόνον παρὰ τοῦ πατριαρχικοῦ ἀποστολικοῦ καὶ οἰκουμενικοῦ θρόνου, μνημονευομένου ἐν τῇ εἰρημένῃ ἐκκλησίᾳ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, τὸ δὲ ῥηθὲν Σχολεῖον ἐνεργῆται ἐσαεὶ ὑπὸ διδασκάλους πεπαιδευμένους πρὸς κοινὴν ὠφέλειαν τῶν ἁπανταχόθεν κατ' ἔρωτα παιδείας ἀφικνουμένων. Τὰ δὲ ἄσπρα καὶ λοιπὰ πράγματα τοῦ Σχολείου τούτου, τά τε ἤδη ὄντα καὶ τὰ ὕστερον προσγενόμενα ἂν διασώζωνται ἐν ἀσφαλεῖ καὶ τοκίζωνται τὰ ἄσπρα παρὰ ἀνθρώποις ἐχεγγύοις καὶ ἀξιοπίστοις, διορίζωνται καὶ ἐπίτροποι τοῦ Σχολείου τούτου οἱ χρησιμώτεροι καὶ τιμιώτεροι κοινῇ γνώμῃ καὶ ἐκλογῇ τῶν ἐπιτοπίων χριστιανῶν καὶ τοῦ κατὰ καιρὸν ἀρχιερέως, οἵτινες, ἐπισκεπτόμενοι καλῶς καὶ ἐπιμελῶς τὰ πράγματα καὶ ἄσπρα τοῦ Σχολείου τούτου καὶ παραλαμβάνοντες τοὺς ἐκ τούτων καρποὺς καὶ τόκους, ὀφείλουσιν ἀποδιδόναι καὶ ἀποπληροῦν προθύμως τοὺς μισθοὺς τῶν διδασκάλων, ποιούμενοι ἐξ αὐτῶν καὶ ὅσα ἄλλα δαπανήματα καὶ ἔξοδα. Ἐπὶ τούτοις ὀφείλει ὁ κατὰ καιρὸν διδάσκαλος κατ' ἔτος προσκαλεῖν τὸν κατὰ καιροὺς ἀρχιερέα καὶ ἀπὸ ἐξόδων τῆς Σχολῆς ἐκτελεῖν μνημόσυνα εἰς ψυχικὴν ὠφέλειαν τῶν κτιτόρων αὐτῆς, ἐν δὲ τῇ ῥηθείσῃ ἐκκλησίᾳ ὁ κατὰ καιροὺς διδάσκαλος ἔχει τὴν αὐτὴν ἐξουσίαν, οἵαν ἔχουσι καὶ οἱ προεστῶτες ἐν ταῖς ἄλλαις ἐκκλησίαις. Ἐκ τῶν εἰσοδημάτων τῆς ἐκκλησίας ταύτης τὰ μὲν λόγῳ λειτουργιῶν καὶ τεσσαρακονταλειτούργων διδόμενα ἔχῃ ἀπολαμβάνειν ὁ διδάσκαλος ἵνα ἀπὸ τούτων πληροῖ τὸν μισθὸν τοῦ ἐφημερίου τῆς ἐκκλησίας, τὰ δὲ διδόμενα λόγῳ παρρησίας ἢ προθέσεως ἢ ἀφιερώματος λαμβανέτωσαν οἱ Ἐπίτροποι ὡς ἂν ἀπὸ τούτων φωταγωγῆται ἡ ἐκκλησία. Εἴ τίς ποτε τῶν μαθητῶν ἐλεγχθείη καὶ φωραθείη σκανδαλοποιὸς καὶ ταραχώδης ἢ βίου αἰσχροῦ, ἐξέστω τῷ διδασκάλῳ, πρὸς τὴν καλὴν τῶν μαθητῶν κατάστασιν ἀφορῶντι,

τιμωρεῖσθαι καὶ παιδεύειν τὸν πταίσαντα κατὰ τὸ πρέπον. Ἑκάστου ἔτους συνερχόμενοι οἱ ἐκεῖ ἐπίτροποι μετὰ τοῦ διδασκάλου καὶ τῶν προκριτωτέρων τοῦ χωρίου, θεωρήτωσαν ἐν φόβῳ Θεοῦ καὶ ἀφιλοπροσώπως τὸν λογαριασμὸν τῶν ἐσόδων καὶ ἐξόδων τῆς Σχολῆς. Εἰ χρεία τύχῃ δαπανηθῆναι ἄσπρα ἢ ἀγορασθῆναι ἢ πωληθῆναί τι πρᾶγμα τῆς Σχολῆς, τοῦτο γινέσθω τῇ συναινέσει τοῦ διδασκάλου. Ἐχέτω ἄδειαν ὁ διδάσκαλος καταλείπειν διάδοχον, ὃν ἂν αὐτὸς ἕληται ἔτι ζῶν· ἢν δ᾽ ἀποθάνῃ ἄνευ διαδόχου, τότε μελέτω τοῖς ἐπιτρόποις καὶ τοῖς προκρίτοις τοῦ χωρίου περὶ τῆς τοῦ διδασκάλου ἀποκαταστάσεως. Ὁ οἶκος ὅν περ ὁ μακαρίτης Τυρουλώης ᾠκοδομήσατο ἑαυτῷ, οὗτος ἔστω ἀεὶ εἰς κατοικίαν τοῦ διδασκάλου, ἡ δὲ δαπάνη τῶν ἄσπρων καὶ ἡ ἀγορὰ ἢ πώλησις τῶν πραγμάτων τῆς Σχολῆς γιγνέσθω συναινέσει οὐ μόνον τοῦ διδασκάλου, ἀλλὰ καὶ τοῦ κατὰ καιρὸν ἁγίου Σάμου καὶ Ἰκαρίας. Ἐπὶ τούτοις ἔστωσαν ἐνταῦθα ἐν Κωνσταντινουπόλει ἐπίτροποι τῆς εἰρημένης Σχολῆς ἐκ μὲν τῶν ἁγίων ἀρχιερέων οἱ ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι ὅ τε ἅγιος Ἡρακλείας κὺρ Μεθόδιος, ὁ ἅγιος Κυζίκου κὺρ Ἀγάπιος καὶ ὁ ἅγιος Χαλκηδόνος κὺρ Παρθένιος καὶ οἱ τοιούτων διάδοχοι, ἐκ δὲ τοῦ εὐλογημένου Ρουφετίου τῶν γουναράδων οἱ κατὰ καιρὸν προεστῶτες καὶ πρόκριτοι αὐτῶν, ὧν τῇ συναινέσει καὶ γνώμῃ ἔχουσι διορίζεσθαι καὶ οἱ ἐκεῖ ἐν Σάμῳ ἐπίτροποι τῆς εἰρημένης Σχολῆς. Ταῦτα δέδοκται καὶ ἀπεφάνθη συνοδικῶς· ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν, μικρὸς ἢ μέγας, ἀνὴρ ἢ γυνή, ἱερωμένος ἢ λαϊκὸς τολμήσῃ ἀνατρέψαι πως τὰ ἐν τῷ παρόντι ἀποφανθέντα καὶ καταλῦσαι τὸ κοινωφελὲς τοῦτο Σχολεῖον, ὁ τοιοῦτος, ὡς μισόκαλος καὶ κοινοβλαβής, διεστραμμένος τε καὶ κακότροπος, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ κυρίου Παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγγιλιῶδες ἐν μεμβράναις γράμμα, καταστρωθὲν καὶ τῷ ἱερῷ κώδηκι τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ ἐδόθη εἰς τὴν εἰρημένην Σχολήν. αψπδʹ. κατὰ μῆνα Αὔγουστον.

† Γαβριὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσ)πόλεως Νέας Ρώμης
καὶ Οἰκουμενικὸς Πατριάρχης.

| | | | |
|---|---|---|---|
| † Ἐφέσου | Σαμουήλ | † Προύσης | Ἄνθιμος. |
| † Ἡρακλείας | Μεθόδιος. | † Δράμας | Γρηγόριος. |
| † Κυζίκου | Ἀγάπιος. | † Ἀγχιάλου | Ἀθανάσιος. |
| † Νικομηδείας | Μακάριος. | † Ναυπλίου | Μελέτιος. |
| † Χαλκηδόνος | Ἱερόθεος. | † Κώου | Δανιήλ. |
| † Δέρκων | Δανιήλ. | | |



# ΣΤʹ.

*Ἀνέκδοτος ἀρχιερατικὴ πρᾶξις*
*περὶ τοῦ διδασκάλου τῆς ἐν Ν. Καρλοβάσῳ Σχολῆς*

## (1784)

† Διὰ τοῦ παρόντος ἡμετέρου ἐνυπογράφου συστατηρίου γράμματος δῆλον γίνεται ὅτι, μετὰ τὴν θείᾳ συνάρσει αἰσίαν ἀποπεράτωσιν τῆς ἐν τῇ Σάμῳ κατὰ τὸ Καρλόβασι συγκροτηθείσης ἤδη σχολῆς τῶν ἑλληνικῶν μαθημάτων, ἀποκατασταθέντες ἡμεῖς καὶ διορισθέντες ἐπίτροποι τῆς αὐτῆς σχολῆς, πρός δε καὶ κηδευταὶ καὶ φρονтισταὶ τῆς καλῆς αὐτῆς καταστάσεως καὶ τῆς εἰς τὰ πρόσω φορᾶς τε καὶ βελτιώσεως, κατὰ τὴν περίληψιν τοῦ ἕνεκα τῆς αὐτῆς σχολῆς ἔναγχος ἀπολυθέντος πατριαρχικοῦ συνοδικοῦ γράμματος, ὑποκαθιστῶμεν καὶ διορίζομεν κατὰ πᾶσαν πληρεξουσιότητα καὶ τελείαν ἄδειαν ἐπιτρόπους ἄλλους ἐπὶ τῇ εἰρημένῃ σχολῇ τόν τε κατὰ τόπον ἀρχιερέα ἅγιον Σάμου συνάδελφον ἡμῶν ἀγαπητὸν κὺρ Δανιήλ, καὶ σὺν τῇ θεοφιλίᾳ αὐτοῦ τοὺς ἐκ τοῦ αὐτοῦ χωρίου Καρλόβασι, ἤτοι τὸν αἰδεσιμώτατον καὶ εὐλαβέστατον ἐν ἱερεῦσι καὶ πρωτόππαπαν πρεσβύτερον κὺρ Κωνσταντάκην τοῦ ποτὲ Διαμαντῆ καὶ τὸν κὺρ Γεώργιον τοῦ ποτὲ Παππᾶ Χριστοδούλου, καὶ παρέχομεν αὐτοῖς ἄδειαν ὑποκαταστάτου ἐπιτροπῆς εἰς τὸ διοικεῖν, ἐξοικονομεῖν τε καὶ διακυβερνᾶν ἐκ τοῦ προσεχοῦς τὰ ἄσπρα καὶ πράγματα τῆς αὐτῆς σχολῆς ἐν φόβῳ Θεοῦ καὶ μετὰ πάσης εὐθύτητος ὡς ἴδια αὐτῶν, καὶ φροντίζειν ἀγρύπνως τῆς τούτων αὐξήσεως, καὶ τρόποις δυνατοῖς καὶ ἑνοῦσι πραγματεύεσθαι τὴν καλὴν τοῦ αὐτοῦ σχολείου κατάστασιν, παρακατέχειν τε ἐν ἀσφαλεῖ τόπῳ τό τε ἀπολυθὲν πατριαρχικὸν συνοδικὸν σιγγίλιον ἐν μεμβράναις γράμμα, καὶ ὅσα ἄλλα τοιαῦτα γράμματα εἰς σύστασιν τῆς αὐτῆς σχολῆς εὐσυνέτως καὶ ἐπισταμένως πως ἐξεδόθησαν, φυλάττειν τε καὶ διατηρεῖν ἀπαράτρωτα, ἀπαράτρεπτα καὶ ἀπαρεγχείρητα μέχρι κεραίας αὐτῆς τὰ τῷ αὐτῷ σιγγιλίῳ ἐμπεριεχόμενα κεφάλαια καὶ στοιχεῖα, ὡς κανόσι ταῖς ἐννοίαις τῆς συνοδικῆς ἀποφάσεως, καὶ τῶν γραφέντων συντηρητικῶν τρόπων ἕνεκα τῆς αὐτῆς σχολῆς, καὶ τὸ παράπαν τούτων μὴ παρατρέπεσθαι· παρέχειν τε πρὸς τούτοις ὀφειλομένως, ἀγογγύστως τε καὶ προθύμως τῷ ὁσιωτάτῳ καὶ ἐλλογιμωτάτῳ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

διδασκάλῳ τῆς σχολῆς κὺρ Ἰακώβῳ πάντα τὰ πρὸς ζωοτροφίαν αὐτοῦ καὶ περιβολὴν καὶ ἐνδυμασίαν ἀρκοῦντα, κατὰ τὸ πρὸς τὴν αὐτοῦ λογιότητα δεδομένον πατριαρχικὸν συνοδικὸν γράμμα, καὶ συνελόντι φάναι περιθάλπειν αὐτὸν καὶ πάσης τιμῆς ἀξιοῦν, ὅπως γένηται προθυμότερος ἑαυτοῦ εἰς τὴν ἰδίαν ἐπαγγελίαν, καὶ τὸ ἱερὸν τῷ ὄντι καὶ θεοφιλὲς τῆς διδασκαλίας λειτούργημα, ἀπρὶξ τοῦ ἔργου ἐχόμενος καὶ πάντα ποιῶν καὶ πράττων εἰς προκοπὴν καὶ ἐπίδοσιν τῶν εἰς τὸ αὐτὸ διδασκαλεῖον φοιτώντων καὶ θαμιζόντων μαθητῶν καὶ ἀκροατῶν, τῶν ἔρωτι παιδείας κατεχομένων, καὶ τροφὴν καὶ τρυφὴν τὴν ἀρετὴν ἐχόντων, καὶ τὴν μάθησιν καὶ τὴν θύραθεν, πρὸ πάντων δὲ τὴν καθ' ἡμᾶς σοφίαν, τὴν ἔσω καὶ θείαν, ἧς οὐ κατισχύσει ποτὲ κακία, κατὰ τὴν τοῦ Σολομῶντος αὐδήν, ὅστις παντὸς ἄλλου αὐτὴν ᾑρετίσατο καὶ νύμφην ἀγαγέσθαι ἑαυτῷ προείλετο, ὡς ἀναγινώσκομεν. Προσοφείλουσι δὲ οἱ αὐτοὶ ἐπίτροποι ἀναγγέλλειν πρὸς ἡμᾶς τὴν κατάστασιν τοῦ αὐτοῦ σχολείου, ὡς κηδευτὰς ὄντας τούτου καὶ προστάτας καὶ ὑπεροχικῷ τινι λόγῳ ἐπιτρόπους, καὶ [illegible]τεύειν καὶ τῷ διδασκάλῳ πᾶσαν ἐνδεχομένην ἡσυχίαν καὶ ἄνεσιν καὶ πραγματικὴν περιποίησιν καὶ περίθαλψιν, καὶ τὴν ἁρμόζουσαν αὐτῷ τιμὴν καὶ εὐλάβειαν καὶ καθηγητῇ τῆς αὐτῆς σχολῆς κοπιῶντί τε καὶ προθύμως ἀγωνιζομένῳ, εἰς τὴν ὠφέλειαν τε καὶ λυσιτέλειαν, καὶ εἰς τὴν χρηστότητα τῶν ἠθῶν καὶ τὴν κοσμιότητα τοῦ τρόπου τῶν φοιτητῶν αὐτοῦ, οἵτινες καὶ ὑπείκειν αὐτῷ ὀφείλουσι καὶ μηδαμῶς αὐτῷ ἀντιλέγειν ἢ ἀντιπράττειν, ἀλλ' ὑποτάσσεσθαι εὐγνωμόνως καὶ εὐτακτεῖν καὶ μελέτην τὸν βίον ποιεῖσθαι καὶ ἐγκύπτειν τῇ βίβλῳ καὶ τοῖς μαθήμασιν. Ἂν δέ τις τῶν μαθητῶν δυσχερὴς ὢν καί, ὡς εἰπεῖν, δυσανάγωγος, οὐκ εὐτακτῇ, οὐδὲ σωφρόνως διάγῃ, ἄλλως τε ῥάθυμος ὢν καὶ ἀμελὴς καὶ τὸν τόπον καταργῇ καὶ τοὺς ἀθλοῦντας ἐκνευρῇ, ὃ δὴ λέγεται, ἀνάγκη πᾶσα τὸν τοιοῦτον τρόποις προσήκουσι σωφρονίζεσθαι. Εἰς γοῦν ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον ἐνυπόγραφον συστατήριον γράμμα, καὶ στέλλεται τοῖς παρ' ἡμῖν διορισθεῖσιν εἰρημένοις ἐπιτρόποις τῆς αὐτῆς ἐν Σάμῳ κατὰ τὸ Καρλόβασι σχολῆς εἰς παράστασιν.

Ἐν ἔτει φψωδ´. σωτηρίῳ, δεκεμβρίῳ 14.

† Ὁ Ἡρακλείας Μεθόδιος.
† Ὁ Κυζίκου Ἀγάπιος.
† Ὁ Χαλκηδόνος Παρθένιος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ